# † 11-05-2022 Κυριακή Ἑσπέρας μετά τοῦ Παραλύτου
# † Ἁγίων ΚΥΡΙΛΛΟΥ καί ΜΕΘΟΔΙΟΥ
## Φωτιστῶν τῶν Σλάβων

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Ἦχος πλ. α΄ Πα






ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμός ργ΄ (103).

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾎσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν·

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ´).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (......), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονῆς, Κώμης) ταύτης,

πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος πλ. δ΄ Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

## Εἰς τό, Κύριε ἐκέκραξα,
## ψάλλομεν Στιχηρὰ ι΄. Ψαλμὸς ρμ΄ (140)




Κα τευ θυν θη η η τω ω η η προ σευ
χη η η η η η μου ως θυ μι ι α α α
α μα α ε ε ε νω ω ω πι ι ο ο ον σου
ε ε ε πα αρ σι ις των χει ρω ω ω ων
μου θυ σι ι α ε ε σπε ρι ι νη ει σα κου
σο ον μου Κυ υ υ υ υ υ υ υ υ ρι
ε

## Στιχηρὰ Προσόμοια τῆς Τρίτης ἑσπέρας μετὰ τῶν Μυροφόρων

### Ἦχος β΄.

### Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν...

Στίχος. Ε αν α νο μι ας πα ρα τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη σε ται ο τι πα ρα σοι ο ι λα σμος ε στιν

**Χ**αίρουσι Μαθήτριαι Χριστοῦ, τῶν ἐκ τοῦ Ἀγγέλου ῥημάτων, ἐπακροώμεναι, δι΄ ὧν τὴν Ἀνάστασιν, τοῦ δι΄ ἡμᾶς ἐν νεκροῖς λογισθέντος πιστούμεναι, κἂν πρὶν Μυροφόροι, τάφῳ παρειστήκεισαν, καὶ ἐθρηνῴδουν αὐτόν, λίθον ἀναβλέπουσι τούτου, ἀποκυλισθέντα ἀθρόον οὗ διηποροῦντο τὴν μετάθεσιν.

Στίχος. Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε υ πε μει

νεν η ψυ χη μου εις τον λο γον σου ηλ

πι σεν η ψυ χη μου ε πι τον Κυ ρι ον

Ἄληκτον καὶ θείαν χαρμονήν, ἐπιχορηγοῦσαι τοῖς θείοις, καὶ ἱεροῖς Μαθηταῖς, ὤφθησαν Μαθήτριαι αἱ Μυροφόροι Χριστοῦ, ἐκπληροῦσαι τὸ κέλευσμα, τοῦ θείου Ἀγγέλου, οὗ ἐξεθαμβήθησαν, τὴν λευκοφόρον στολήν, λέγουσαι· Ἐσκύλευται Ἅδης τῇ πανσωστικῇ Ἀναστάσει, τοῦ ὑπὲρ ἡμῶν θανόντος Ἄνακτος.

Στίχος. Α πο φυ λα κης πρω ι ας με

χρι νυ κτος α πο φυ λα κης πρω ι ας

ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι

ον

Ῥεῖθρα δακρυρρόου ἐκ πηγῆς, θρήνων ἀναστείλασαι θεῖαι, Χριστοῦ Μαθήτριαι ῥήματα χαρμόσυνα, διαπορθμεύουσαι νῦν, τοῖς αὐτόπταις τῆς χάριτος, μηνύουσαι τούτοις, τὴν

τοῦ Λόγου Ἔγερσιν, καὶ τὴν ἐκ τάφου χαράν· ὅθεν, τὴν ἀντίθετον λύπης, ἤκουον φωνὴν παραδόξως ταύταις τὴν τὸ Χαίρετε, προστάττουσαν.

Εἶτα ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῶν Ἁγίων.
Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν...

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω το ε λε ος και πολ λη παρ αυ τω λυ τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα ηλ εκ πα σων των α νο μι ων αυ του

Ἀποστόλων ὁμότροποι, ὡς τοῦ ζήλου συμμέτοχοι, ἀληθῶς ἐδείχθητε παμμακάριστοι· τῆς εὐσεβείας τὸν λόγον γάρ, λαμπρῶς ἐκηρύξατε, τοῖς ἐν σκότει καὶ σκιᾷ, τῆς ἀπάτης καθεύδουσι, θείῳ Πνεύματι. Διὰ τοῦτο ὑμᾶς ἀνευφημοῦμεν, Πάτερ Κύριλλε θεόφρον, καὶ θεηγόρε Μεθόδιε.

Στίχος. Αἰ νει τε τον Κυ ρι ον παν τα τα ε θνη ε παι νε σα τε αυ τον παν

τες οι λα οι

Λαμπρυνθέντες ἐν Πνεύματι, καὶ σοφίας τοῖς δόγμασιν, ἑαυτοὺς κοσμήσαντες βίῳ κρείττονι, ἐκ βασιλίδος τῶν πόλεων, μακρὰν ἀπεστάλητε, εἰς τῶν Σλάβων τάς φυλάς, ὡς Ἀπόστολοι ἔνθεοι, Πάτερ Κύριλλε, καὶ Μεθόδιε, ταύτας ἐπιστρέφειν, πρὸς Χριστὸν καὶ συνετίζειν, αὐτῶν τὸν νοῦν θείᾳ χάριτι.

Στίχος. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α λη θει α του Κυ ρι ου με νει εις τον αι ω να

Ὥσπερ μήτηρ καλλίτεκνος, ἐν ὑμῖν ἐπαγάλλεται, θεηγόρε Κύριλλε καὶ Μεθόδιε, Θεσσαλονίκη ἐν πόλεσιν, ἡ πόλις ἡ ἔνδοξος, ἡ βλαστήσασα ὑμᾶς, καὶ ἐν πίστει πλουτήσασα, μικρὸν λείψανον, ἐκ τῆς θείας σοροῦ ὑμῶν γεραίρει, τὴν ἁγίαν ὑμῶν μνήμην, ἐν τῷ ναῷ ὑμῶν Ἅγιοι.

Δόξα τῶν Ἁγίων

Ἦχος λ̲π Πα.




ας δι ι ι ε ε ε γει ει ει ρει βο α α
αν προς α α αυ τους π χαι αι ρε ε τε α
πο στο λι κης ε ξου σι ι α ας κοι οι οι νω
νοι Δ και του Ευ αγ γε λι ου ου ου τη η
ης ει ει ει ρη η η η νης δι α πρυ υ
σι ι ι οι κη η η ρυ υ υ υ κες π χαι αι
ρε ε τε οι τας κε χερ σω με ε ε ε νας των
Σλα βων κα αρ δι ας Δ τω α ρο τρω του
λο γου γε ωρ γη η σα αν τες χ προς καρ πο
φο ρι ι α α α α αν σωτη η η ρι ι ι ι
ον π χαι ρε τε Θεσ σα λο νι ι ι κης α

ει θα λει ει εις ο ορ πη η η κες

και πα ση η ης Ε ε εκ κλη η η σι ι

ι ι ας α α α δυ τοι οι οι α στε

ε ε ε ε ρες αλλ ως ε ε χο ον τες

παρ ρη σι ι ι ι ι αν προς Χρι ι ι

στο ο ο ο ο ο ο ο ο ο ο ο ο

ον ως Α πο στο ο λω ω ων μι ι μη η

η ται πρε σβευ σα α τε υ περ τω ων ψυ χω

ω ων η η η η μων

## Καὶ νῦν... τῇ Τρίτῃ μετὰ τῶν Μυροφόρων ἑσπέρας

Ἦχος πλ. α' Πα.

Και αι νυ υ υν και α α ει και εις τους αι
αι ω ω ω νας των αι ω ω ω νων α α α
μην

Αι Μυ ρο φο ροι γυ ναι κες τον τα φον
σου ου κα α α τα α α λα α βου ου ου σαι
και τας σφρα α γι ι ι δας του ου μνη η μα
τος ι δου ου ου ου σαι μη η ε ευ ρου ου
σαι αι αι δε το α α χραν τον Σω ω μα α
α α σου ο δυ ρο ο με ε ε ναι με τα
σπου ου δης η ηλ θον λε ε γου ου ου σαι


τις ε ε κλε ε ε ψεν η μων τη η ην ε
ελ πι ι δα τις ει ει λη φε ε νε ε κρον
γυ μνον ε ε ε σμυ υ υρ νι ι σμε ε ε νον
της Μη τρος μο νον πα α α ρα μυ υ θι
ι ι ι ον ω πω ω ως ο νε ε κρους ζω ω
σας τε θα να α τω ω ω ω ται ο τον Α
δην σκυ λε ευ σα α ας πως τε ε θα α α α
πται αλλ α να στη η η θι Σω τηρ α α
αυ τε ε ε ξου ου σι ι ι ως κα θως ει
πα α ας τρι η η η με ε ε ρος σω ζων
τα ας ψυ χα α ας η η η η μων

## Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι




ου ου ζω η η η η η η ην ο ο δι ι
δου ους δι ο ο ο ο ο κο ο σμος
σε ε ε δο ο ξα α α ζει ει

## Προκείμενον.
## Τῇ Τρίτῃ ἑσπέρας.
### Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα τα δι ω ξει με πα σας τας η με ρας της ζω η ης μου ου ου

Εἶτα τὰ Ἀναγνώσματα.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

(Κεφ. 10, 6-7 & 3, 13-16 & 8,... )

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς εἶδε φρόνησιν. Κρεῖττον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν (οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν, εὔγνωστὸς ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν)· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ, καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν, ἄκακοι,

πανουργίαν, οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Ἐκλογή)

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας, στόμα σοφῶν μελετᾷ σοφίαν, δικαιοσύνη δὲ ῥύσεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρός δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν, καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν, ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ

ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστις γὰρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσιν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδὲν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα, καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται ὁ τροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων· καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· καὶ ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· δὸς μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μὴ με ἀποδοκιμάσῃς ἐκ παίδων σου, ὅτι ἐγὼ δοῦλος σός, καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου

σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τὶ εὐάρεστόν ἐστι παρὰ σοί· καὶ ὁδηγήσῃ με ἐν γνώσει, καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. 5, 15-23 & 6, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει

θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων του Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπέρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν.

Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς

αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα

των ψυχῶν καί τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καί τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη της ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπί τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ

πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας των αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοί, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπί τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς,

καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰς τὴν Λιτήν. Ἰδιόμελα. Ἦχος α΄.

Ἀγάλλου ἐν Κυρίῳ, πόλις Θεσσαλονίκη, ὡς μήτηρ καλλίγονος, ἐπὶ τέκνοις χορεύουσα· ἐκ σοῦ γὰρ ἀνεβλάστησαν, Κύριλλος καὶ Μεθόδιος, ὡς φοίνικες γλυκύκαρποι, ἀποστολικῶν χαρίτων, καὶ τῆς εὐσεβείας τὸ μυστήριον, εἰδωλομανοῦσιν ἔθνεσι, θεολήπτῳ γλώσσῃ ἐκήρυξαν· καὶ τὴν Ἐκκλησίαν πᾶσαν κάλεσον, τάς ἀριστείας αὐτῶν ὑμνῆσαι, καὶ τῶν ἀγώνων τὰ τρόπαια, καὶ τῶν καμάτων τὰ γέρα, τῷ ἐν αὐτοῖς δοξασθέντι βοῶσα· Κύριε δόξα σοι.

Ἦχος β΄.

Τίς ἐπαξίως ὑμνήσει, τῶν ἀποστολικῶν ὑμῶν δρόμων τοὺς καμάτους, καὶ τάς θλίψεις καὶ ἱδρῶτας, Αὐτάδελφοι θεόσοφοι; Κατὰ Παῦλον γὰρ τὸν μέγαν, πλείστας χώρας διήλθετε καὶ πόλεις καὶ λαοὺς καὶ ἔθνη, ὑπήκοα Χριστῷ προσηγάγετε, τῇ ἐκφάνσει τῆς ἀληθείας· ὡς γὰρ ἐκεῖνος ἐξ Ἱερουσαλήμ, οὕτω καὶ ὑμεῖς, ἐκ Βυζαντίου ἐξήλθετε, καὶ σλαβικοῖς ἐπέστητε ἔθνεσι, τῆς ἐν Χριστῷ ζωῆς, τὰ ἀγαθὰ εὐαγγελιζόμενοι, καὶ σωτηρίας αἰωνίου τὴν ἔλλαμψιν. Ἀλλ᾽ ὦ Μεθόδιε καὶ Κύριλλε, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄.

Τοῦ Παρακλήτου τῷ φωτί, ὡς τῷ Φωτίῳ συγγενόμενοι, καταλαμφθέντες τὴν ψυχήν, φωστῆρες παγκόσμιοι ὤφθητε, Κύριλλε καὶ Μεθόδιε· καὶ ταῖς θείαις αὐτοῦ χερσί, μυσταγωγηθέντες τὰ κρείττονα, ἀποστολὴν ἱερὰν ἐνεπιστεύθητε, ἀποστολικοῖς προτερήμασι κοσμούμενοι· καὶ τοῖς ἐν πλάνῃ λαοῖς, σαφῶς ἱερουργήσαντες τὸ Εὐαγγέλιον Χριστοῦ, ἡ προσφορὰ ὑμῶν εὐπρόσδεκτος, καὶ ἡγιασμένη Θεῷ προσενήνεκται· ᾧ καὶ ἡμᾶς προσάγετε, σεσωσμένους λιταῖς ὑμῶν.

Ἦχος δ΄.

Ἀποστολικὴν ἀναλαβόντες πορείαν, τῆς εὐσεβείας φυτοκόμοι ὤφθητε, καὶ ἐσφαλμένων ἠθῶν, καὶ βίου χείρονος, ῥιζοτόμοι ἔνθεοι· τὸν γὰρ λόγον τῆς χάριτος, ἐν δυνάμει καὶ Πνεύματι Ἁγίῳ, καὶ πολλῇ πληροφορίᾳ ἐκηρύξατε· διὸ Χαζαρία καὶ Μοραβία, Παννονία καὶ Βουλγαρία, τῷ κηρύγματι ὑμῶν καταυγασθεῖσαι, ὡς θεμελίους τῆς πίστεως, καὶ ὁδηγοὺς πρὸς σωτηρίαν ὑμᾶς γεραίρουσι· καὶ πᾶσα ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τὴν μνήμην ὑμῶν μακαρίζει, Μεθόδιε καὶ Κύριλλε, Ἀποστόλων ἰσοστάσιοι.

Δόξα. Ὁ αὐτός.

Τῶν Ἀποστόλων τοῦ Χριστοῦ, δεξάμενοι τὸ πῦρ, ἐσκοτισμένοις ἔθνεσιν, ὡς φῶς ἐπέστητε, Κύριλλε καὶ Μεθόδιε· καὶ τῆς ματαίας αὐτῶν πατροπαραδότου ἀναστροφῆς, λαοὺς ἀπαλλάξαντες, ἀποστολικῶν ἐπάθλων, ἀξίως ἐτύχετε. Διὸ Θεσσαλονίκη, ἡ βλαστήσασα ὑμᾶς χορεύει ἐν ὑμῖν, καὶ αἱ τῶν Σλάβων Ἐκκλησίαι, ὡς φωστῆρας ἀπλανεῖς, καὶ ὑποφήτας ἀληθείας, ὑμᾶς γεραίρουσι· μεθ΄ ὧν καὶ σύμπασα ἡ τοῦ Χριστοῦ Ὀρθόδοξος Ἐκκλησία, πανδήμως ὑμᾶς μακαρίζει βοῶσα· Χαίρετε αὐτάδελφοι ἱερώτατοι, Κύριλλε καὶ Μεθόδιε, πρεσβευταὶ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν.... Τῆς ἑορτῆς.

Εἰς τὸν Στίχον. Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις τῶν αὐταδέλφων δυάς, τῶν Ἀποστόλων μιμηταὶ καὶ ὁμότροποι· αὐτῶν γὰρ εἰσδεδεγμένοι, τάς ἐκ Θεοῦ δωρεάς, καὶ τοῦ Παρακλήτου φῶς τὸ ἄϋλον, τὸν ἴσον ἠνύσατε, ἐν σοφίᾳ καὶ χάριτι, καὶ πλείστοις πόνοις, αὐτοῖς δρόμον μακάριοι, τὴν ἀλήθειαν, τοῖς ἐν πλάνῃ κηρύξαντες, Κύριλλε παμμακάριστε, καὶ θεῖε Μεθόδιε, μυσταγωγοὶ θεηγόροι, τῆς ὑπὲρ νοῦν ἀγαθότητος· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις τῶν αὐταδέλφων δυάς· τῶν ἀρετῶν οἱ γεωργοὶ οἱ πανθαύμαστοι, αἱ πλάκες αἱ γεγραμμέναι, ἐν τῷ δακτύλῳ Θεοῦ, τοῦ Εὐαγγελίου τὰ διδάγματα· σοφίας κειμήλια, εὐσεβείας ἐκφάντορες, βίου ἐνθέου, παιδευταὶ καὶ διδάσκαλοι θεῖοι κήρυκες, τῶν δογμάτων τῆς πίστεως· Κύριλλε καὶ Μεθόδιε, τῶν Σλάβων Ἀπόστολοι, Θεσσαλονίκης τὸ κλέος, τοῦ Βυζαντίου ὡράϊσμα. Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας.

Χαίροις τῶν αὐταδέλφων δυάς, μύσται θεόληπτοι Φωτίου τοῦ μάκαρος· χερσὶ γὰρ αὐτοῦ σταλέντες ἐπὶ ὁδῶν τῶν ἐθνῶν, ψυχὰς μεταπλάσαι θείᾳ χάριτι· ἐντεῦθεν θεόσοφοι, ἀνεδείχθητε κήρυκες, Ὀρθοδοξίας, Μοραβοῖς Μοισοῖς Ἅγιοι, Παννονίας τε, Βουλγαρίας ἐν Πνεύματι. Ὅθεν πιστῶς προστρέχουσα, τῷ θείῳ ναῷ ὑμῶν, Θεσσαλονίκη τὰ θεῖα, ὑμῶν προσπτύσσεται λείψανα, Χριστὸν ἀνυμνοῦσα, τὸν δωρούμενον τῷ κόσμῳ, τὸ μέγα ἔλεος.

## Εἰς τὸν Στίχον Δόξα τῶν Ἁγίων

### Ἦχος πλ. α΄ Νη




φα γω ω γοι οι α νε ε δει ει ει χθη η η
η τε ν κ και νυν τη ης α α α νω ι
ε ε ρου ουρ γι ι ι α ας Δ π πε ρι φα
νως με ε ε τε χο ον τες 6 λ Κυ υ ριλ λε και
αι Με ε θο ο ο δι ι ι ι ε Δ π αι τη σα
α σθε η η μι ιν το θει ει ει ον ε ε ε λε
ε ε ε ος ν κ

## Καὶ νῦν... ἀποστίχων τῆς Ἑορτῆς

### Ἦχος Πα




α α ρα α δει ει ει σου ανθρω ω ποις δο ο
ο ξα α α α σοι οι οι οι

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

## ΑΠΟΛΥΤΙΚΙΑ

Ἦχος Δι



Τὸ Ἀναστάσιμον. Ἦχος β'.

Ο τε κα τη ηλ θες προς τον θα να τον

η ζω η η α θα α να τος το τε τον

Α δην ε νε ε κρω σας τη α στρα πη της Θε

ο τη τος ο τε δε και τους τε θνε ω τας

εκ των κα τα χθο νι ων α νε ε στη σας πα

σαι αι δυ να μεις των ε που ρα νι ων ε

κραυ γα ζον Ζω ο δο τα Χρι στε ο Θε ος η

μων δο ο ο ξα σοι

## Ἀπολυτίκιο τῶν Ἁγίων
### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.
Ἦχος πλ. α΄ Κε

Δόξα Πατρί... Ἀ πο στο λων τον ζη λον
ε πι δει ξα με νοι ε πι τας χω ρας των Σλα
βων Ευ αγ γε λι ι ου το φως δι ηυ γα σα
τε λα μπρως θει ω κη ρυγ μα τι Θεσ σα λο
νι κης οι βλα στοι και α στε ρες φα ει νοι Με θο
ο δι ε συν Κυ ρι ιλ λω αυ τα δελ φοι θε
η γο ο ροι Εκ κλη σι ων η σε μνο πρε
πει ει α


Και νυν και α ει και εις τους αι ω
νας των αι ω νων α μην
Ταις Μυ ρο φο ο ροις γυ ναι ξι πα
ρα το μνη μα ε πι στας ο Αγ γε λος ε βο
ο ο ο α τα μυ ρα τοις θνη τοις υ παρ χει
αρ μο ο δι α Χρι στος δε δι α φθο ρας
ε δει χθη αλ λο τρι ος αλ λα κραυ γα σα τε
α νε στη ο Κυ υ ρι ος πα ρε χων τω
κο σμω το με γα ε ε ε λε ο ο ος

ΙΕΡΕΥΣ: Σοφία!

Ὁ Ἀναγνώστης: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Ὁ Ἀναγνώστης: Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα Σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Δέσποτα ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων

Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ὁ Χορός: Ἀληθῶς ἀνέστη ὁ Κύριος.

## Τόν Εὐλογοῦντα...




## Τὸν Δεσπότην καί Ἀρχιερέα



Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.